Βοσκόμενοι λαγίναν, ἐρικύματα φέρματι, γένναν,
Βλαβέντα λοισθίων δρόμων.
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
Κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λέμμασι διφσοὺς
ἀντ. ά.
'Ατρεΐδας μαχίμους ἐδάη λαγοδαίτας πομπούς τ' ἀρχάς·
οὕτω δ' εἶπε τεράζων·
Χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
Πάντα δὲ πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ
μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
Οἶον μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὸν στόμιον
μέγα Τροίας
Στρατωθέν. Οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ
πτανοῖσιν κυσὶ πατρὸς
Αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν·
Στυγεῖ δὲ δεῖπνον αἰετῶν.
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
Τόσον περ εὔφρων ἁ καλὰ μεσῳδ.
Δρόσοις ἀάπτοις τῶν μαλερῶν
Πάντων τ' ἀγρονόμων φιλομάστοις
Θηρῶν ὀβρικάλοισι, τερπνὰ
Τούτων αἰτεῖ ξύμβολα κρᾶναι,
Δεξιὰ μὲν, κατάμομφα δὲ φάσματα στρουθῶν.
'Ιήϊον (δὲ) καλέω παιάν,
Μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῇδας
'Απλοίας τεύξῃ,
Σπευδομένα θυσίαν ἑτέραν, ἄνομόν τιν', ἄδαιτον,

---

110. (βοσκομένην) — ἐρικύμονα — (φέρβοντο) = φέρματα 113. λήμμασι, v. λήμασι 114. f. 'Ατρεΐδας — λογοδαίτας (λαγαδ.) — ἀρχοὺς 115. f. αἱρεῖ 116. μοῖρα λαπάξει 117. οἷον μητ. — MSS. ἄτα προτυπὲν = προτυπὲς = (κνεφάσειε — προτυφθὲν) 118. f. οἴκοι — f. στρατωμένοις· τοῖς γ. = στρατευθὲν — πτανοῖς 119. πτῶκα 122. τόσσον — ἄφρων = καλὰ 123. δρόσοισιν — MSS. ἀέλπτοις = ἀέπτοισι — v. μαλερῶν ὄντων (ὀλτων) f. λεπτοῖς μαλλέοντων 125. (ὀκρικάλοισι,) f. ὀβρικ. τερπνά, 126. f. αἰνεῖ — κράναι = φάναι 127. τῶν στρ. f. δέξια μὲν στρουθῶν, κατ. δ. φ. 128. ἴηον — f. ἰὴ ἰὴ — MSS. Παιᾶνα 129. v. ἐχενηΐδας = (ἐχεν. χρον.) 130. ἀπλοΐας = ἀπλοΐδας 131. σπενδομένα (σπαρδ.)